Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 51



σαι, ὅτι εἰς ἀνάπαυσιν ἀπέρχῃ. εἰ δὲ οὐδὲν τούτων προέπεμψας, τί ἐν τῇ μονῇ παροξύνῃς τὸν πλησίον; πρωῒ γὰρ ἔχεις χωρισθῆναι ἀπ᾽ αὐτοῦ. Τί δὲ ὑπερηφανεύῃ, ἢ τί ἀλαζονεύῃ; Τί δὲ εἶ περίλυπος, μὴ θέλων αὐτὴν βαστάζειν τὴν μονὴν καθ᾽ ἑαυτοῦ; τί δὲ φροντίζεις περὶ χιτῶνος καὶ περιβολαίου, ἢ τροφῆς; Ὁ διδοὺς τοῖς κτήνεσι τροφὴν αὐτῶν, σὲ οὐκ ἂν τρέφοι τὸν δοξολογοῦντα αὐτόν; Ὁ προσδοκῶν κληρονόμος τῆς αὐτοῦ βασιλείας γενέσθαι, περὶ χιτῶνος καὶ περιβολαίου φροντίζεις; ὁ τῷ κόσμῳ νεκρώσας ἑαυτὸν, τὰ γήϊνα φρονεῖς; τί τὸν Ἰατρὸν παροξύνεις, μὴ θέλων ἰαθῆναι; τῷ καιρῷ τῆς ἰάσεώς σου τὰ τραύματά σου κρύβεις, καὶ τῷ Ἰατρῷ ἐγκαλεῖς, ὅτι οὐκ ἰάσατό σε; Καιρὸς μετανοίας δίδοταί σοι, καὶ τῆς μετανοίας ἀμελεῖς; τί οὖν ἐγκαλεῖς τῷ νομοθέτῃ, ὅτι ἐπήγαγε τὸν θάνατον, σοῦ καταφρονοῦντος. Μὴ ἐρεῖς τῷ θανάτῳ, ἔασόν με, ἵνα μετανοήσω; νῆψον, ἀγαπητὲ, νῆψον· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπί σε ἡ ὥρα ἐκείνη· καὶ τότε ἔκπληξις λάβῃ τὴν σὴν διάνοιαν, λέγων, πῶς μετεωριζομένου μου παρῆλθον αἱ ἡμέραι μου; καὶ πῶς ἐν λογισμοῖς ἀκαίροις παρῆλθον οἱ χρόνοι μου; καὶ τί τὸ ὄφελος ἐν τῷ καιρῷ τοῦ θανάτου ταῦτα λογίζεσθαι; μὴ συγχωρουμένου σου ἔτι ἀναστραφῆναι ἐν τῷ αἰῶνι τούτῳ. Θὲς τοιγαροῦν τὸν νοῦν σου εἰς τὰ λεγόμενα· εἰσελθέτω εἰς τὰς ἀκοάς σου τὰ παρὰ τοῦ Κυρίου εἰρημένα, εἴγε πιστεύεις αὐτῷ· ἔφη γὰρ, ὅτι καὶ περὶ ἀργοῦ λόγου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀποδώσομεν τὸν λόγον. Ἱκανὸς δὲ οὗτος ὁ λόγος, ἐὰν νήφῃ ἡμῶν ἡ διάνοια. Ὃς δὲ τὰ γεγραμμένα οὐ συνίει, οὔτε μὴν τῶν λεγομένων ἀκούει· ἔοικεν ὁ τοιοῦτος σωλῆνι δεχομένῳ ὕδωρ, καὶ μὴ αἰσθανομένῳ, ὅτι δι᾽ αὐτοῦ παρέρχεται. Τίς οὖν ἄρα μὴ κλαύσῃ; τίς δὲ μὴ λυπηθῇ; καὶ τίς μὴ καταπλαγῇ, ὅτι ὁ Δεσπότης οἰκουμένης δι᾽ ἑαυτοῦ τε καὶ τῶν δούλων αὐτοῦ τῶν Προφητῶν καὶ Ἀποστόλων κηρύττει καὶ βοᾷ, καὶ οὐκ ἔστιν ὁ ἀκούων; Τίνα δέ ἐστι τὰ κηρυττόμενα ὑπ᾽ αὐτῶν· Ὁ γάμος ἕτοιμος, φησὶ, καὶ τὰ σιτευτά μου τεθυμένα, ὁ νυμφίος μετὰ δόξης καὶ μεγαλοπρεπείας κάθηται ἐν τῷ νυμφῶνι καὶ δέχεται τοὺς εἰσερχομένους μετὰ χαρᾶς, ἡ θύρα ἀνέῳκται, οἱ ὑπηρέται σπουδάζουσι· πρὸ τοῦ κλεισθῆναι τὴν θύραν, ὀξυποδίσατε μήποτε ἔξω μείνητε, καὶ οὐκ ἔστιν ὁ εἰσφέρων ὑμᾶς ἐπὶ τούτοις. Οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ σπουδὴν τιθέμενος, ἀλλ᾽ ἡ ῥαθυμία καὶ ἡ φροντὶς τοῦ αἰῶνος τούτου, ὥσπερ ἅλυσις, ἔδη-

Tom. I. σεν

A eſto, quoniam ad requiem pergis. At ſi nihil ejuſmodi præmiſeris, quid in hac manſione proximum exacerbas? mane enim ab illo ſeparandus eris? Quid ſuperbis? aut quid inſoleſcis? quidve mœrore deprimeris? an quia ne ipſam quidem manſionem ſeparatim ferre potes? Quid enim tunicæ aut pallii cura angeris, ſollicitudineque eſcarum? Qui dat jumentis eſcam ipſorum, non te nutriet, laudibus ipſius inſiſtentem? *Pſalm.* 146.
B Qui cœleſtis ejus regni hæres fieri exſpectas, de tunica & pallio es ſollicitus? Qui teipſum mundo mortificaſti, adhuc terrena ſapis? Cur medicum exaſperas, nolens ſanitatem recipere? Tempore, quo curari poſſes, tua vulnera occultas, & medicum, quod non ſis ab eo curatus, incuſas? Tempus pœnitentiæ indultum eſt tibi, & pœnitentiam agere negligis? Cur ergo arguis legislatorem, quod tibi, dum negligis &
C parvipendis, mortem invexit? Numquid morti dices, permitte me pœnitentiam agere? Vigila igitur, cariſſime, vigila. Quaſi enim laqueus, hora illa repente ſuperveniet tibi: & tunc ſtupore atque pavore mens tua corripietur, tibique ipſe dices: quomodo me in ſuperbiam elato dies mei tranſierunt? quo pacto inter inutiles cogitationes tempus mihi præteriit? Et quid proderit hæc in hora mortis cogitare, quando jam ulterius non
D concedetur tibi in hoc ſæculo commorari? Imprime igitur animo tuo hæc quæ dicuntur. Introëant in aures tuas quæ pronunciata ſunt a Domino, ſi tamen vel ipſi credis. Ait enim: De omni verbo otioſo reddituri ſumus rationem in die illa. *Matth.* 12. Sufficeret autem hic ſermo, ſi tamen mens noſtra eſſet ſobria. Qui vero neque ea quæ ſunt ſcripta intelligit, neque ea quæ dicuntur auſcul-
E tat, ſimilis eſt talis homo canali ſeu fiſtulæ, aquam quidem recipienti, ſed quod tranſeat per ipſam, minime ſentienti. Quis igitur non fleat? quis non contriſtetur? Et quis non obſtupeſcat, quoniam orbis terræ Dominus tam per ſeipſum, quam etiam per ſervos ſuos Prophetas & Apoſtolos prædicat & clamat, nec eſt qui audiat? Quænam vero illa ſunt, quæ ab illis prædicantur? Nuptiæ, inquit, paratæ ſunt, & ſaginati tauri mei *Matth.* 22. *Luc.* 14.
F occiſi ſunt, & ſponſus in thalamo ſuo cum gloria & magnificentia reſidet, & cum gaudio recipit introëuntes: fores patent, miniſtri feſtinant. Priuſquam januæ claudantur, celeriter intrare properate, ne forte foris remanere cogamini, & ultra jam non ſit, qui vos introducat. Non eſt qui intelligat: non eſt qui curet, ſtudiumque adhibeat: verum ignavia & ſollicitudo ſæculi hujus, catenæ inſtar, vinctam tenent men-

G 2 tem

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0299
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg